κυλίει τις, καὶ μάλιστα, οἷον τοὐμὸν τοῦτο πιθάκνιον, οὐδὲ πάνυ καρτερῶς [4]) κεκεραμευμένον· δεήσει γὰρ αὐτίκα μάλα πρὸς μικρόν τι λιθίδιον προσπταίσαντα, [5]) συλλέγειν τὰ ὄστρακα. τί οὖν ἔγνωσταί μοι, καὶ πῶς ἀσφαλῶς μεθέξω τοῦ πολέμου, αὐτὸς ἔξω βέλους ἑστὼς, ἐγώ σοι φράσω, [6]) τούτου μὲν καπνοῦ, καὶ κύματος, καὶ φροντίδων, ὅσαι τῷ συγγράφειν ἔνεισιν, ἀνέξω ἐμαυτὸν, [7]) εὖ ποιῶν. παραίνεσιν δέ τινα μικρὰν καὶ ὑποθήκας ταύτας ὀλίγας ὑποθήσομαι τοῖς συγγράφουσιν, ὡς κοινωνήσαιμι αὐτοῖς τῆς οἰκοδομίας, εἰ καὶ μὴ τῆς ἐπιγραφῆς, ἄκρῳ γε τῷ δακτύλῳ τοῦ πηλοῦ προσαψάμενος.

5. Καίτοι οὐδὲ παραινέσεως οἱ πολλοὶ δεῖν οἴονται σφίσιν ἐπὶ τὸ πρᾶγμα, οὐ μᾶλλον ἢ τέχνης τινὸς ἐπὶ τὸ βαδίζειν, ἢ βλέπειν, ἢ ἐσθίειν,

Sed tum mihi videtur ſcribendum fuiſſe παρ' ἐμοῦ; eſt etiam illud, ſi quid ſentio, venuſtius.

4) κεκεραμ.] „Fictilia fere erant apud veteres dolia. Merito tamen dubitat Menagius (ad Laërt. p. 137. D.) an Diogenicum etiam fictile fuerit. Teſtam tamen vocat *Iuuenal.* Sat. XIV, vſ. 308." *Solan. Varro* de R. R. 3, 15, 2. adde *Colum.* 12, 54, 3. *Gesner.*

5) συλλέγειν τὰ ὄστρ.] Maxime deprimitur ſcriptor leuis, vbi auctor probatus, vel ludens, vt fit, ſibi difficillimum factu videri affirmat, quo iſte facile defunctus eſt.

6) τούτου μὲν καπνοῦ] Alluſio ad Homeri Od. M. 219. vbi Vlyſſes gubernatori, Scyllam vt effugiat, mandat: Τούτου μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε Νῆα. vid. *Solan.*

7) εὖ ποιῶν] Haec et quae de doliolo ſuo dicit Lucianus, ironice accipienda ſunt omnia. modeſtiam enim in his apud Lucianum non video. Hac autem formula auctor valde videtur delectatus. cf. c. 12. et ſaepius.